# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΤΑΞΙΣ ΕΙΣ ΕΓΚΑΙΝΙΑ ΝΑΟΥ

ΥΠΟ

ΠΑΝΑΓΙΩΤΟΥ Ν. ΤΡΕΜΠΕΛΑ

ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

---

καὶ τοῖς πλαγίοις. Τῶν δὲ ἱερέων πάλιν ἐπιτιθέντων τῇ τραπέζῃ τὰ ἀντιμίνσια καὶ τούτοις ἐκ τῆς λοιπῆς οἰνάνθης ἢ τοῦ οἴνου καὶ ἐκ τοῦ μύρου τὸ ἀρκοῦν ἐπιχεῖ. Καὶ λεγομένου καὶ ψαλμοῦ ρλβ. Ἰδοὺ δὴ τί καλὸν... ἕως τέλους. Δοξάζουσι καὶ αὐτός φησι.

Δόξα σοι, ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐκμασσομένης δὲ τῆς τραπέζης διὰ τῶν ἀντιμινσίων, αὐτὰ μὲν παρὰ τῶν ἱερέων αὖθις μετατίθενται, λαμβάνει δὲ ὁ ἀρχιερεὺς τὸ λεγόμενον κατασάρκα (κατασάρκι Ξ e), ὅ ἐστι σάβανον καινὸν ἢ λιτὸν ὕφασμα, παρηρτημένους ἔχον εἰς τὰ τέσσαρα ἄκρα σχοίνους λεπτούς, οὗ τῇ τραπέζῃ ἐφαπλουμένου δεσμοῦνται οἱ σχοῖνοι ἢ σταυροειδῶς ὑποκάτωθεν τῆς τραπέζης ἢ κατὰ τοὺς κίονας· καὶ οὕτω πάλιν ἐπάνωθεν τοῦ κατὰ σάρκα τίθενται τὰ ἁγιασθέντα ἀντιμίνσια. Ἐν ὅσῳ δὲ πράττεται ταῦτα, λέγεται ψαλμ. ρλα Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ, ἅπαξ ἢ δίς. Καὶ τοῦ ἔργου τελειουμένου δοξάζουσι. Καὶ λέγει ὁ ἀρχιερεύς·

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.

Μετὰ δὲ ταῦτα νιπτόμενος τὰς χεῖρας, μαντηλίῳ τε καινῷ ταύτας ἐκμάσσων λαμβάνει τὸ ἅπλωμα ἤτοι τὴν ἐπένδυσιν (τὸν ἐπενδύ-

---

**Χ** Ἐκμασσομένης δὲ τῆς τραπέζης λαμβάνει ὁ . . . καινὸν καὶ σκεπάζει τὴν ἁγίαν Τράπεζαν καὶ λέγεται ψαλμ. ρλα... ἕως τέλους ἅπαξ.

*Ξ* «... ἢ τοῦ οἴνου· ἐκ τοῦ ροδοστάγματος καὶ ἐκ τοῦ μύρου... ἐπιχεῖ ἐπιλεγομένου τοῦ παρόντος ψαλμοῦ. Ἰδοὺ δὴ (παρατίθεται ὁλόκληρος)... δεσμοῦνται οἱ σχοῖνοι κατὰ τοὺς κίονας καὶ οὕτω πάλιν ἐπάνωθι...»

e «Λέγομεν δὲ τὸν ψαλμὸν τοῦτον δὶς καὶ τρὶς καὶ δοξάζει Δόξα τῷ Θεῷ... Και νιπτόμενος τὰς χεῖρας.

Ὁ ὲ μετὰ τὸ Ἰδοὺ δὴ... Εἶτα ἐκφωνεῖ ὁ ἀρχιερεύς· Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Δόξα σοι...

Ὁ ὲ «Ἐκμασσομένης δὲ... μετατίθενται. Εἶτα δὴ ταῖς τέσσαρσι τῆς τραπέζης γωνίαις, τὰ τέσσαρα ὑφάσματα ἐπιτιθέασι ἢ ἀντ' αὐτῶν τὰ χαρτία προσκολλῶντες ταῦτα μετὰ τῆς κηρομαστίχης. Ὁ δὲ ἀρχιερεὺς λαμβάνει τὸ λεγόμενον κατασάρκιον οὗ τῇ τραπέζῃ... Μετὰ δὲ ταῦτα νιπτόμενος τὰς χεῖρας ἔν τινι ἀγγείῳ καινῷ ἢ ἐν τῷ χωνευτηρίῳ ὥστε μηδόλως ἐκχυθῆναι καὶ ἔξωθεν οὐδεμίαν ῥανίδα μετὰ μεγάλης οὗ λέγεται (;) προσοχῆς, μανδυλίῳ τε καινῷ...

Ὁ $\Sigma_8$ «λαμβάνει τὸ ἅπλωμα... (ὥς εἰς τοὺς λοιποὺς κώδικας, μετά τινος συντομίας ὅμως)... Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ τὴν ἁγίαν σου ἐκκλησίαν....»

την ***Ν Ξ*** τὴν ἐπενδυτὴν e) τῆς τραπέζης· ἧς παρ' αὐτοῦ ἐφαπλουμένης λέγεται ψαλμὸς Ϟ β 'Ο Κύριος ἐβασίλευσεν, ἅπαξ ἢ δὶς καὶ τρίς. (δὶς καὶ πολλάκις ἕως οὗ ἐνδύσονται τὴν ἁγ. τράπεζαν e). Καὶ οὕτω δοξάζουσι. Καὶ μετὰ τὸ 'Αμὴν ἐπιδίδοται τῷ ἀρχιερεῖ θυμιατήριον· καὶ αὐτοῦ θυμιῶντος τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον καὶ τὸν ναὸν ὅλον λέγεται ψαλμὸς κε΄. Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην· ἅπαξ ἢ πολλάκις. Εἷς δὲ τῶν συμπαρόντων ἱερέων ἢ καὶ ἀρχιερέων ὄπισθεν ἐπακολουθεῖ βαστάζων τὸ τοῦ μύρου ἀγγεῖον. Καὶ ποιεῖ σταυροὺς ἐξ αὐτοῦ καθ' ἕκαστον κίονα καὶ πεσσὸν τοῦ ναοῦ. Συμπληρουμένης δὲ τῆς τε θυμιάσεως καὶ τοῦ ψαλμοῦ δοξάζουσι. Καὶ τοῦ διακόνου τὴν εἰθισμένην συναπτὴν ποιοῦντος καὶ μετὰ τὸ 'Αντιλαβοῦ λέγοντος τῆς Παναγίας ἀχράντου καὶ τοῦ ἁγίου τοῦδε, οὗ ἐστιν ὁ ἐγκαινιζόμενος ναός, ὁ ἀρχιερεὺς πρὸ τῆς ἁγίας ἑστὼς τραπέζης καὶ γόνυ μὴ κλίνων εὔχεται οὕτως:

---

***Ζ*** «Μετὰ δὲ ταῦτα λαμβάνει ὁ ἀρχιερεὺς τὸ ἅπλωμα ἤτοι... 'Ο Κύριος ἐβασίλευσεν... Λέγεται ἅπαξ ἢ δὶς ἢ τρίς. Μετὰ δὲ ταῦτα νιπτόμενος τὰς χεῖρας [ἡ νῖψις ἐνταῦθα καὶ οὐχὶ ἀνωτέρω ὡς ὁ ***Η*** κ.λ.] ὁ ἀρχιερεὺς καὶ ἱερεῖς καὶ οἱ διάκονοι λέγουσι τὸν παρόντα ψαλμόν, Κρῖνόν μοι Κύριε... Λέγεται δὶς ἢ καὶ τρίς. Μετὰ δὲ ταῦτα ἐπιδίδοται τῷ ἀρχιερεῖ τῷ λιτῷ, θέτει δὲ εἰς τὴν ἁγίαν Τράπεζαν. Ἔπειτα καὶ τὸ Εὐαγγέλιον. Εἶτα καὶ τὸ θυμιατήριον. Καὶ θυμιῶντος τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον καὶ τὸν λαὸν ὅλον· εἷς δὲ τῶν συμπαρόντων ἱερέων ἢ ἀρχιερέων... Συμπληρουμένης δὲ τῆς θυμιάσεως λέγει ὁ ἀρχιδιάκονος τὴν εἰθισμένην συναπτὴν

***Ξ*** e Μετὰ τὸ 'Ο Κύριος ἐβασίλευσε «Καὶ πάλιν Δόξα σοι, ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας. 'Αμήν. Καὶ δίδοται τῷ ἀρχιερεῖ θυμιατήριον... Κρῖνόν με... ἐπορεύθην· ἅπαξ καὶ πολλάκις μέχρις ἂν ἀποθυμιάσῃ. 'Εν δὲ τῷ θυμιᾶν τὸν ἀρχιερέα εἷς τῶν συμπαρόντων ἱερέων (ἀρχιερέων e)... δοξάζει λέγων Δόξα σοι, ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας. 'Αμήν. Εἶτα γίνεται συναπτή...»

υ Μετὰ τὸ 'Ο Κύριος ἐβασίλευσε «Καὶ οὕτω δοξάζουσι. Τίθησι δὲ τὸ εἰλητὸν καὶ μετὰ ταῦτα τὸ εὐαγγέλιον. Καὶ μετὰ τὸ 'Αμὴν ἐπιδίδοται... Κρῖνόν με... 'Ο μὲν οὖν θυμιᾷ, εἷς δὲ τῶν συμπαρόντων... Συμπληρουμένων δὲ τῆς τε θυμιάσεως καὶ τῆς τοῦ μύρου χρίσεως καὶ τοῦ ψαλμοῦ ὑποστρέφει ὁ ἀρχιερεὺς καὶ ὁ διάκων λέγει· Ἓν καὶ ἕν. 'Αντιλαβοῦ. Τῆς Παναγίας. Τούτων οὖν ῥηθέντων ἢ καὶ λεγομένων ἔτι καὶ προστιθεμένων, εἰ βούλει, καὶ ἑτέρων αἰτήσεων ἐκ τῆς μεγάλης συναπτῆς, ὁ ἀρχιερεὺς πρὸ τῆς ἁγίας τραπέζης... 'Ο Β. μετὰ τὸ 'Ο Κύριος ἐβασίλευσε... Καὶ μετὰ τὸ 'Αμὴν ἐπιδίδοται τῷ ἀρχιεπισκόπῳ τὸ θυμιατήριον καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον καὶ ὅλον τὸν ναὸν λέγων τὸν κε΄ ψαλμ. Κρῖνόν με, Κύριε· ἅπαξ ἢ πολλάκις μέχρις οὗ θυμιάσῃ. 'Εν δὲ τῷ θυμιᾶν τὸν πατριάρχην εἷς τῶν συμπαρόντων αὐτῷ ἐπισκόπων βαστάζων τὸ ἀγγεῖον τοῦ ἁγίου μύρου ἀκολουθεῖ ὄπισθεν αὐτοῦ, καὶ ποιεῖ σταυροὺς ἐκ τοῦ μύρου εἰς ἕκαστον κίονα καὶ πεσσὸν τοῦ ναοῦ. Εἶτα μετὰ τὸ πληρῶσαι, ὡς εἴρηται, τὴν θυμίασιν καὶ τὸν τοιοῦτον ψαλμὸν καὶ δοξάσαι, ποιοῦντος διακόνου εὐχὴν συναπτὴν συνήθως...

'Ο ε μετὰ τὸ 'Ο Κύριος ἐβασίλευσεν... Καὶ οὕτω δοξάζει ὁ ἀρχιερεὺς λέγων Δόξα σοι ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν, δόξα σοι, εἰς τοὺς αἰῶνας 'Αμήν. Καὶ μετὰ τὸ 'Αμὴν ἐφαπλοῖ καὶ τούτοις τὸ τῆς ἐκκλησίας ἀντιμίνσιον. Καὶ ἐπάνω τίθησι

Κύριε, ὁ Θεὸς ἡμῶν, τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποιητής, ὁ τὴν ἁγίαν σου ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας καὶ ἀντίτυπον τῆς ἀγγελικῆς ἐν οὐρανῷ λειτουργίας τὴν τῆς ἱερωσύνης τάξιν ἐπὶ τῆς γῆς συστησάμενος· σὺ δέσποτα μεγαλόδωρε, πρόσδεξαι καὶ νῦν δεομένους ἡμᾶς, οὐχ ὡς ἀξίους ὄντας περὶ τηλικούτων αἰτεῖν, ἀλλ' ἵνα τὸ ὑπερβάλλον δειχθῇ τῆς σῆς ἀγαθότητος· οὐ γὰρ ἐπαύσω τὸ ἀνθρώπινον γένος πολυτρόπως εὐεργετῶν· κεφάλαιον δὲ ἐδωρήσω τῶν σῶν εὐεργεσιῶν τὴν ἐν σαρκὶ τοῦ μονογενοῦς σου Υἱοῦ παρουσίαν· ὅς, ἐπὶ γῆς ὀφθείς, καὶ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, ἀνήνεγκεν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν καὶ γέγονε τοῦ κόσμου παντὸς ἱλαστήριον, κοινωνοὺς ἡμᾶς τῆς ἰδίας ἀναστάσεως ποιησάμενος· καὶ ἀναληφθεὶς εἰς οὐρανοὺς ἐνέδυσε τοὺς ἑαυτοῦ μαθητὰς καὶ ἀποστόλους, καθὼς ἐπηγγείλατο, δύναμιν ἐξ ὕψους, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ προσκυνητὸν καὶ παντοδύναμον, τὸ ἐκ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον· δι' οὗ γενόμενοι δυνατοὶ ἐν ἔργῳ καὶ λόγῳ, βάπτισμα παρέδωκαν υἱοθεσίας, ἐκκλησίας ἀνέστησαν, ἵδρυσαν θυσιαστήρια, ἱερωσύνης ἔθεντο κανόνας καὶ νόμους· ὧν ἡμεῖς οἱ ἁμαρτωλοὶ κατέχοντες τὴν παράδοσιν προσπίπτομέν σοι τῷ αἰωνίῳ Θεῷ καὶ δεόμεθά σου, εὔσπλαγχνε· τὸν πρὸς τὴν σὴν ὑμνῳδίαν οἰκοδομηθέντα τοῦτον ναὸν τῆς θείας σου πλήρωσον δόξης καὶ τὸ παρὸν θυσιαστήριον ἅγιον ἁγίων ἀνάδειξον· ὥστε ἡμᾶς, παρεστῶτας αὐτῷ, ὡς τῷ φρικτῷ τῆς βασιλείας σου θρόνῳ, ἀκατακρίτως λατρεύειν σοι, δεήσεις ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου ἀναπέμποντας, καὶ τὴν ἀναίμακτον θυσίαν τῇ σῇ προσφέροντας ἀγαθότητι, εἰς ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημά-

ψαλμ. ζ 1 κα[illegible] ἀλλ. Γενεσ. α [illegible]
Ἐφεσ. ε 27.
Α' Παραλ. κθ21 ψαλμ. ρθ5.
Ἰωάν. γ18.
Βαρούχ γ 38 Ματθ. δ 16, Β[illegible] Κορινθ. δ 6.
Α' Πετρ. β 9 Ἑβρ. ζ 27.
Μαρκ. ιστ 19 Πράξ. α 11.
Λουκ. κδ 19.
Ἰωάν. ιε 46, Λουκ. κδ 19.
Ἐξόδ. μ 31,32, Γ' Βασιλ. η 11, Β' Παραλ. ε 13, ζ 1—3.
Ἐξόδου κθ 37.

*1 Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ* **Ξ** *Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ τὴν* **ΖΗΝΞΧ** *υ 2 θεμελιώσας ἀντίτυπον υ 6 τὸ ὑπερβάλλον μέγεθος δειχθῇ* **Ζ**, *8 κεφάλαιον δὲ ἡμῖν ἐδωρήσω τῶν εὐεργεσιῶν* **Ζ Η Ν Ξ Χ** *υ τῶν σῶν εὐεργεσιῶν υ 9 τοῖς ἐπὶ γῆς ὀφθεὶς* **ΖΞ** *ἐπὶ γῆς ὤφθη υ 12 τῆς ἰδίας αὐτοῦ ἀναστάσεως* **Χ** *13 ἀνέδυσε* **Χ** *14 καθὼς ἐνετείλατο δύναμιν* **Ξ** *15 τὸ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς υ 16 ἐκκλησίαν ἀνέστησαν* **Ξ** *17 ἵδρυσαν θυσιαστήριον* **Ξ** *ἔδωκαν κανόνας* **Ξ**.

*21 πρὸς σὴν ὑμνῳδίαν* **Ζ Η Ν Χ** *υ τὸν πρὸς ὑμνῳδίαν οἰκοδ. ναὸν* **Ξ** *ἀνοικοδομηθέντα* **Ζ** *22 τῆς θείας σου δόξης πλήρωσον υ τῆς σῆς πλήρωσον δόξης* **Ζ** *καὶ τὸ ἐν αὐτῷ παρὸν* **Η** *καὶ τὸ ἐν αὐτῷ παγὲν θυσίαστ,* **Ζ Ν Χ** *υ παγέντι υ.*

*22 καὶ τὸ ἐν αὐτῷ πανάγιον θυσίαστ.* **Ξ** *24 βασιλείας θρόνῳ* **Ν** *25 καὶ τοῦ λαοῦ σου παντὸς* **Ζ Η Ν Χ** *καὶ τοῦ λαοῦ παντὸς* **Ξ** *υ 25 εἰς κυβέρνησιν ψυχῆς* **Ζ**

---

τὸ ἱερὸν εὐαγγέλιον. Καὶ γίνεται ἀσπασμός. Εἶτα θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον... Κρῖνόν με... δοξάζουσιν οὕτως Δόξα τῇ ἁγίᾳ καὶ παντοδυνάμῳ καὶ ζωοποιῷ τριάδι πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν. Καὶ γίνεται μικρὰ συναπτὴ παρὰ τοῦ διακόνου...

των συγχώρησιν, εἰς κυβέρνησιν βίου, εἰς ἀγαθῆς πολιτείας κατόρθωσιν, (Ματθ. γ 15.) εἰς πλήρωσιν πάσης δικαιοσύνης.

Ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν ***ΖΗΝ*** (***Σ***$_8$) καὶ μετὰ τὸ Ἀμὴν λέγει ὁ ἀρχιερεὺς

Εἰρήνη πᾶσι.

Καὶ τοῦ διακόνου λέγοντος τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν εὔχεται οὕτως·

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς ἡμῶν, ὅτι ἣν ἐξέχεας (ψαλμ. ζ1 καὶ ἀ μδ 3.) χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους καὶ ἐπὶ τοὺς ὁσίους ἡμῶν πατέρας, ἠξίωσας διὰ πολλήν σου φιλανθρωπίαν καὶ μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. Διὸ δεόμεθά σου, δέσποτα πολυέλεε· πλήρωσον δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τὸ (Γ' Βασιλ. η 1 καὶ ἀλ.) θυσιαστήριον τοῦτο, ὥστε μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους θυσίας εἰς τὸ ἄχραντον σῶμα καὶ τὸ τίμιον αἷμα (Α' Πέτρ. α 19) τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ (Ἰωάν. γ 18. Α' Τιμοθ. α 1) Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ (Β' Θεσσ. α 12.) λαοῦ σου καὶ τῆς ἡμῶν ἀναξιότητος. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

***ΗΝ*** Καὶ μετὰ τὸ Ἀμὴν λέγει ὁ διάκονος Ἐν εἰρήνῃ προέλθωμεν. Καὶ τελειοῦται πᾶσα ἡ ἀκολουθία.

***ΖΗΝ***υ(***Ξ***). Μετὰ δὲ ταῦτα κομίζεται τῷ ἀρχιερεῖ κανδήλα καινὴ καὶ μολυβὶς (μολυβίδες ***Ν***) καὶ θρυαλλὶς καὶ ἔλαιον. Καὶ αὐτὸς

*1 ἐπιτηδειοτάτην κατόρθωσιν* ***Ξ*** *εἰς ἐκπλήρωσιν πάσης* ***ΖΗΝΧ*** *3 ὅτι εὐλόγηταί σου τὸ ὄνομα τὸ πανάγιον* ***Χ*** *9 ὁ Θεὸς τῶν δυνάμεων* ***ΖΗΧΞ****υ. 10 ἀποστόλους καὶ τοὺς ὁσίους* ***Ξ*** *12 ἀχρείων σου δούλων* ***Η*** *ἁμαρτωλῶν ἐκτεῖναι ταύτην* ***Χ*** *ἐκτεῖναι δεόμεθά σου* ***Ξ*** *ἐκτείνας* ***Η*** *Διὸ δὴ δεόμεθά σου* ***Χ*** *14 θυσιαστήριόν σου τοῦτο* ***ΖΗΝΞ****υ τὸ ἁγιαστήριον τοῦτο* ***Χ*** *15 προσφερομένας θυσίας ἀναιμάκτους* ***Ξ*** *16 τοῦ Θεοῦ καὶ* ***Ν*** *αἷμα τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς σου υἱοῦ πρὸς* ***ΖΗΝΞΧ*** *υ 17 καὶ πρὸς σωτηρίαν υ 18 Ἐκφών.* ***ΝΞΧ*** *υ ὁ Θεὸς ἡμῶν Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν καὶ σοὶ* ***ΖΗΝΞΧ*** *υ.*

---

e «...καὶ εἰς τοὺς αἰῶνας. Διάκονος Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Καὶ εὐθὺς κομίζεται τῷ ἀρχιερεῖ κανδήλιον καινὸν καὶ τουαία (;) καὶ ἔλαιον...»

***Χ*** «...κομίζεται τῷ ἀρχιερεῖ ἡ κόσμησις τῆς ἐκκλησίας, κανδήλα, κηρὸς καὶ πᾶσα ἡ τοῦ ναοῦ κόσμησις καὶ ἅπτει τὰ κανδήλια καὶ τὰ κηρία καὶ τοῦ διακόνου ποιοῦντος συναπτὴν ψάλλεται τὸ τρισάγιον καὶ ὁ ἀρχιερεὺς ἐπεύχεται Κύριε ὁ Θεὸς ἡμῶν...»

Ἐν τῷ e μετὰ τὴν ἐκφώνησιν Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν... ἐπακολουθοῦσι τὰ ἀναγνώσματα.

οἰκείαις χερσὶ πληρῶν ἐλαίου τὴν κανδήλαν καὶ ἀνάπτων τὴν θρυαλλίδα ταύτην ἀποτίθησιν ἐν τῷ θυσιαστηρίῳ. Καὶ λοιπὸν ἀποτιθέμενος τό τε σαβανὸν καὶ τὰ μαντήλια καὶ (εἰ βούλοιτο υ) πᾶσαν τὴν ἀρχιερατικὴν στολὴν ἐπιτρέπει τοῖς ἐκκλησιαστικοῖς ὑπηρέταις εἰσαγαγεῖν κανδήλας καὶ κηροὺς καὶ πάντα τὸν τοῦ ναοῦ κόσμον. Ἐν ὅσῳ δὲ τελεῖται ταῦτα, μικρὸν αὐτὸς ἀναπαύεται. **ΖΗΝ**υ Καὶ εἴπερ δύναται κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν τελειῶσαι τὴν ὅλην καθιέρωσιν καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ, πάλιν τὰ τῆς ἀρχιερατείας ἅπαντα περιβάλλεται ἅμφια καὶ ἄπεισιν ἅμα τοῖς ἱερεῦσι καὶ τῷ λοιπῷ κλήρῳ καὶ τῷ λαῷ εἰς τὸν ἕτερον ναόν, ἐν ᾧ τὰ μαρτυρικὰ προαπετέθησαν λείψανα. (Καὶ τελεῖ τὴν τούτων προπομπὴν καὶ κατάθεσιν καὶ τὴν θείαν λειτουργίαν κατὰ τὸν μέλλοντα ρηθήσεσθαι τρόπον

---

**Ξ** e Καὶ εὐθὺς οἱ ψάλται δοξάζουσι (καὶ ἐπισυνάπτουσι e) τὸ Τρισάγιον.

**Η Ζ Ν** υ Καὶ πᾶσα ἡ θεία μυσταγωγία πληροῦται κατὰ τὴν τῶν ἐγκαινίων ἀκολουθίαν.

**Ξ Χ Ν** υ e Εἶτα τὸ Προκείμενον. Ἦχ. δ'. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα (γ' 1-3).

Ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι.... ὁ δὲ τὰ πάντα κατασκευάσας Θεός.

**Χ** υ Λέγεται δὲ καὶ ἀπόστολος τοῦ ἁγίου, οὗ εἰς τὸ ὄνομα ἐγκαινίζεται.

υ Ἀλληλούϊα ἦχος δ', Σοὶ πρέπει ὕμνος ὁ Θεός, ἐν Σιών.

Στίχ. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου.

**Ν Χ Ξ** υ e Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (ις' 13-18).

Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου... καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

υ Λέγεται δὲ καὶ εὐαγγέλιον τοῦ ἁγίου, οὗ εἰς ὄνομα ὁ ναὸς ἐγκαινίζεται καὶ καθεξῆς ἡ θεία τελεῖται λειτουργία. Ἐνῷ δὲ λέγεται καὶ κοινωνικὸν τοῦτο:

**Ν** υ Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

---

**Χ** ἀλληλούϊα ἦχ. α. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Στίχ. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου.

**Χ** Εὐαγγέλιον «καὶ τοῦ ἁγίου τῆς μονῆς. Κοινωνικὸν Τῷ οἴκῳ σου πρέπει ἁγίασμα εἰς μακρότητα ἡμερῶν».

e «Κοινωνικὸν Αἰνεῖτε τὸν Κύριον».

***Ν***). Εἰ δὲ τοῦτο ποιεῖσαι κατ' ἐκείνην ἀδυνατεῖ τὴν ἡμέραν, ὑποχωρεῖ μὲν αὐτός. Γίνεται δὲ καὶ αὖθις λυχνικὸν καὶ παννυχὶς καὶ ὄρθρος εἰς τὸν ναόν, τὸν ὑποδεξάμενον τὰ λείψανα τῶν μαρτύρων (ἀλλὰ δὴ καὶ εἰς τὸν ἐγκαινιζόμενον ναόν υ). Τῇ δὲ ἑξῆς ὁ ἀρχιερεὺς ἐκεῖ πάλιν παραγίνεται συνάμα τῷ κλήρῳ καὶ τῷ λαῷ. Καὶ τοῦ διακόνου ποιοῦντος εὐχὴν συναπτῆς τρισαγίου αὐτὸς εὔχεται ταῦτα:

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν λόγοις.

(Ἐπακολουθεῖ ἡ λιτάνευσις τῶν ἁγίων λειψάνων κ.λ.π. ὡς ἐκτίθεται ἀνωτέρω τοποθετουμένη ὑπὸ τῶν κωδίκων ***Ζ Η Ν Χ*** υ ἐνταῦθα).

(Μετὰ τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν... καὶ τὴν ἐκφώνησιν Ὅτι σοῦ ἐστιν).

***ΖΗΝ*** υ Καὶ εὐθὺς οἱ ψάλται δοξάζουσιν, ἐπισυνάπτουσι τὸ Τρισάγιον καὶ πᾶσα ἡ θεία μυσταγωγία πληροῦται κατὰ τὴν τῶν ἐγκαινίων ἀκολουθίαν.

---

Ὁ $Σ_3$ τὰ ἀνωτέρω ὑπὸ τὴν ἐπιγραφὴν «Τάξις γινομένη ἐπὶ τῶν ἐγκαινίων ἤδη καθιερωθέντος ναοῦ».

«Τῇ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ καθιεροῦται ὁ εὐκτήριος οἶκος, γινομένου λυχνικοῦ καὶ παννυχίδος ἐν μιᾷ τῶν σύνεγγυς τοῦ καθιερωθέντος εὐκτηρίου ἐκκλησιῶν, τῇ δηλωθησομένῃ διὰ τοῦ κηρυττικοῦ των συνάξεων, ἔνθα δηλονότι καὶ τὰ ἅγια μένονται λείψανα. Παραγίνεται ἔωθεν ὁ πατριάρχης ποιοῦντος διακόνου εὐχὴν συναπτήν, ἐπεύχεται ὁ πατριάρχης λέγων οὕτως Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν τοῖς λόγοις σου... κτλ. ὡς ἀνωτέρω... Εἴη τὸ πανάγιον ὄνομά σου... καὶ μετὰ τὸ Ἀμὴν ἀπάρχεται ὁ πατριάρχης ταῦτα· Δόξα σοι, Χριστέ, ἀποστόλων... Καὶ βαστάζων τὰ ἅγια λείψανα ἅμα τοῖς συμπαροῦσιν αὐτῷ ἐπισκόποις, παραγίνεται μετὰ λιτῆς ἐν τῷ ἐγκαινιαζομένῳ ναῷ. Καὶ ὅταν εἰσέλθῃ εἰς τὸν νάρθηκα καὶ παραστῇ ἐν μέσῳ τῶν πυλῶν τοῦ ναοῦ καὶ εἴπῃ Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν. Ἄρχονται οἱ ψάλται τοῦτο τροπάριον. Ἄρατε... Καὶ εἶθ' οὕτως ἀνοίγονται οἱ πυλῶνες, καὶ εἰσέρχεται σὺν παντὶ τῷ λαῷ. Ἐν δὲ τῷ ψάλλεσθαι τὰ εἰρημένα τροπάρια ἀποτίθεται ὁ πατριάρχης τὰ ἅγια λείψανα ἐν τῇ ἑτοιμασθείσῃ αὐτοῖς θέσει, καὶ ἐπεύχεται ταῦτα Ὁ Θεός, ὁ Θεὸς ἡμῶν ὁ καὶ ταύτην τὴν δόξαν... Εἶτα δοξάζουσιν οἱ ψάλται καὶ ἐπισυνάπτουσι τὸ Τρισάγιον καὶ γίνεται ἀκολούθως ἡ θεία λειτουργία.

Τὰ αὐτὰ καὶ ὁ Β. μετ' ἀσημάντων διαφορῶν.

Ὁ Σ «... κλήρῳ καὶ τῷ λαῷ. Καὶ τοῦ διακόνου ποιοῦντος συναπτὴν Ἐν εἰρήνῃ τοῦ. Ὑπὲρ τῆς ἄνωθεν. Ὑπὲρ τῆς εἰρήνης. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τὰ ἑξῆς. Καὶ ὁ ἀρχιερεὺς ἐπεύχεται Κύριε ὁ Θεὸς...»

Ὁ ***Χ*** μετὰ τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν λόγοις... καὶ τὴν ἐπακολουθοῦσαν αὐτῇ ἑτέραν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν, πρεσβείαις... Εἴη τὸ κράτος τῆς βασιλείας σου... «Καὶ μετὰ τὸ Ἀμὴν περικόπτει καὶ ψάλλει τὰ Τυπικὰ καὶ ἡ (Γ' ς' ᾠδή(;)) τοῦ ἐγκαινι. καὶ τοῦ ἁγίου. Οὐ λέγει τὴν εὐχὴν τῆς εἰσόδου, ἀλλὰ γίνεται λιτὴ προπορευομένου τοῦ ἀρχιερέως καὶ τοῦ κλήρου καὶ τοῦ λαοῦ ἀκολουθοῦντος εἰς συναπαντὴν τῶν ἁγίων λειψάνων. Καὶ ψάλλουσι τροπάριον ἦχ. γ'. Ἐν τῇ πέτρᾳ... Κλείουσι δὲ ὄπισθεν τὰς πύλας τοῦ ναοῦ ει τὰς ὀπὰς πάσας. Καὶ μένει εἷς τῶν ἱερέων εἰς τὸ θυσιαστήριον φυλάττων τὸν βασιλέα. Ὁ δὲ ἀρχιερεὺς συναντήσας τοῖς ἁγίοις λειψάνοις κλίνει γόνυ λέγων τὴν εὐχὴν ταύτην ἔμπροσθεν τῶν ἁγίων λειψάνων: Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ...» (ἴδε ἀνωτ.).

***Ζ Η Ν Χ*** υ Μέχρι δὲ συμπληρώσεως ἡμερῶν ἑπτά, καθ' ἑκάστην ἐν τῷ τοιούτῳ ναῷ λειτουργία τελεῖται τῶν ἀντιμινσίων ὑποκειμένων τῷ τῆς ἁγίας τραπέζης ἁπλώματι (ἀποπληρώματι υ). Μετὰ δὲ τὴν ζ'. αἴρονται τὰ ἀντιμίνσια. Καὶ λοιπὸν ἱερουργία καὶ χωρὶς ἀντιμινσίου γίνεται ἐν τούτῳ διὰ τὸ εἶναι αὐτὸν καθιερωμένον.

Καὶ λοιπὸν ἱερουργεῖ χωρὶς ἀντιμινσίων διὰ τὸ εἶναι αὐτὸν καθιερωμένον υ.

---

῾Ο υ προαπετέθησαν λείψανα ἕνα μόνον ἱερέα καταλείψας ἐν τῷ ναῷ τῷ εγκαινιζομένῳ. Καὶ εἰ τύχει καὶ διάκονοι πρὸς τὸ ποιῆσαι προσκομιδήν· καὶ τὰ λοιπὰ τῆς ἱερουργίας τελέσας καὶ μέχρι τῆς μικρᾶς εἰσόδου φθάσας ἵσταται αὐτοῦ ἐκδεχόμενος τὸν ἀρχιερέα. Εἰ δὲ τοῦτο ποιῆσαι κατ' ἐκείνην... κλήρῳ καὶ τῷ λαῷ καὶ τοῦ καιροῦ ἐπιστάντος καὶ τοῦ ἀρχιερέως τὴν ἀρχιερατικὴν πᾶσαν στολὴν περικειμένου μετὰ τὴν προσκομιδήν, τοῦ διακόνου ὡς ἔθος ποιοῦντος...»

῾Ο **Χ** μετὰ τὸ πέρας τῆς ὅλης ἀκολουθίας καὶ ὁ **Ν** μετὰ τὴν ἀνωτέρω ἐκφώνισιν Ὅτι σοῦ ἐστιν... παραθέτουσι τὰς κατωτέρω δύο εὐχάς :

**Ν** Εὐχὴ ἑτέρα εἰς τὰ καταθέσια τῶν ἁγίων λειψάνων

**Χ** Εὐχὴ εἰς τὴν κατάθεσιν τῶν λειψάνων

**Ν Χ** ῾Ο Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἅγιος τῶν ἁγίων, ὁ Θεὸς τῶν ἀποστόλων καὶ βασιλεὺς τῶν μαρτύρων, τὸ καύχημα τῶν ἁγίων σου καὶ ὁ στέφανος πάντων τῶν εὐαρεστησάντων τῷ ὀνόματί σου, μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου· χάρισαι ἡμῖν μνημονεύειν τῶν ἁγίων σου καὶ κοινωνεῖν αὐτῶν τοῖς παθήμασι. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν τοῖς λόγοις σου, ὁ χαρισάμενος τοῖς ἁγίοις σου μάρτυσι τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι καὶ τὸν δρόμον τῆς εὐσεβείας τελειῶσαι καὶ τὴν πίστιν τῆς ἀληθινῆς ὁμολογίας φυλάξαι· παρακλήθητι καὶ χάρισαι ἡμῖν, τοῖς σοῖς ἱκέταις, μέρος καὶ κλῆρον ἔχειν μετὰ πάντων τῶν ἁγίων σου· ἵνα μιμηταὶ αὐτῶν γενόμενοι καταξιωθῶμεν τῶν ἀποκειμένων ἀγαθῶν. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ σοι πρέπει πᾶσα δόξα σὺν τῷ παναγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ν** Εὐχὴ Γ' μετὰ τὴν κατάθεσιν τῶν ἁγίων λειψάνων

**Χ** Εὐχὴ ἑτέρα μετὰ τὴν.... λειψάνων ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

**Ν Χ** Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν καλλινίκων σου μαρτύρων καταγωνισάμενος τὸν ἐχθρὸν ἡμῶν διάβολον, χάρισαι ἡμῖν τοῖς σοῖς ἱκέταις μέρος ἔχειν καὶ κοινωνίαν μετὰ τῶν ἁγίων σου. Δὸς ἡμῖν ἀγαπᾶν τοὺς ἀγαπῶντάς σε καὶ μιμεῖσθαι αὐτῶν τὸν ζῆλον καὶ τὴν ἐλπίδα. Ποίησον ἡμᾶς μαθητὰς τῶν ἀθλητῶν τῆς εὐσεβείας, τῶν ἐκχεάντων τὰ ἑαυτῶν αἵματα ὑπὲρ τῆς ὁμολογίας τοῦ μεγάλου καὶ προσκυνητοῦ ὀνόματος τοῦ Χριστοῦ σου. Καὶ καταξίωσον ἡμᾶς εὐχαῖς καὶ πρεσβείαις αὐτῶν ἀντέχεσθαι τῆς πίστεως καὶ τῆς ἀληθείας τοῦ λόγου σου διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ἐν τοῖς οὐρανοῖς, τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ σου. Ἵνα σοι εὐχαριστοῦντες καὶ σοὶ δουλεύοντες τύχωμεν τῶν ἐπουρανίων σου δωρεῶν.

*5 Ναί, Κύριε, ὁ Θεὸς ἡμῶν* **Χ** *10 τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν* **Χ** *᾿Εκφών. Χάριτι* **Χ**

*18 μαθητὰς τῶν ἀθλησάντων* **Χ** *23 εὐχαριστοῦντες καὶ δουλεύοντες* **Χ** *τῶν ἐπουρανίων δωρεῶν σου. Ὅτι ἅγιος* **Χ**

Ἰστέον δὲ ὅτι τὰ ἀντιμίνσια πρὸ τῆς καθιερώσεως κόπτονται καὶ ῥάπτονται καὶ πλύνονται. Μετὰ δὲ τὸ ἁγιασθῆναι οὐδὲν εἰς αὐτὰ πράττεται τοιοῦτον, ἀλλὰ μόνον ἐπιγράφονται οὕτω:

Θυσιαστήριον τοῦ ἁγίου τοῦδε ἱερουργηθὲν ὑπὸ τοῦ δεῖνος Μητροπολίτου ἢ ἐπισκόπου τῆς δε πόλεως. Μηνὶ τῷ δεῖνι ἐν ἔτει τῷδε.

Εἰδὲ ἐν τῇ πόλει γένωνται, προστίθεται ἐπὶ δεῖνος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ Πατριάρχου.

**Χ** Τίθενται δὲ καὶ τὰ τῶν βασιλέων ὀνόματα.

---

Ἐκφών. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις κατοικεῖς καὶ ἐν αὐτοῖς θαυματουργεῖς καὶ ἐπαναπαύῃ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

4 ἁγιασθὲν καὶ ἱερουργηθὲν Ν

Ὁ υ «... ἐπιγράφονται οὕτως Ἀντιμίνσιον θεῖον καὶ ἱερὸν ἁγιασθὲν παρὰ τῆς χάριτος τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος καὶ εὐλογηθὲν παρ' ἐμοῦ τοῦ ταπεινοῦ ἐπισκόπου τῆς Δεῖνα πόλεως ὀνόματι Δεῖνος ἐπὶ ἔτος Δεῖνι.

Εἰς καθιέρωσιν

Θυσιαστήριον θεῖον καὶ ἱερὸν ἁγιασθὲν παρὰ τῆς... Πνεύματος, ἱερουργηθὲν καὶ εὐλογηθὲν παρ'... ὀνόματι δεῖνος ἐπιτελεῖν τὰ θεῖα ἐν αὐτῷ. Εἰς δόξαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων. Ἀμήν. Ἐπὶ ἔτους...».